eul_wid: chg-ab

*Ἡλιόδωρος ὁ τραγικός Ἀθηναῖος* · Heliodorus the Tragedian of Athens

# Fragments on the Poisonous Spring

*Ἀποσπάσματα περὶ τῆς Ἰοβόλου Πηγῆς*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

book 471.1 [ln_1]Οὐ μὰ τὸν ἐν
book 471.2 Τρίκκῃ πρηὺν θεόν, οὐ μὰ τὸν ὑψοῦ Ἠέλιον
book 471.3 σπείροντα θεοῖς
book 471.4 φαεσίμβροτον αἴγλην, οὐ μὰ θεῶν
book 471.5 σκηπτοῦχον, ὑπερμενέα Κρονίωνα, οὔτε μέ τις δώροισι
book 471.6 παρήγαγεν οὔθ’ ὑπ’ ἀνάγκης[ln_5]οὔτε χάριν
book 471.7 φιλίης ἑτέρῳ κακὰ νεῖμαι ὑπέστην· ἀλλ’ ὁσίας μὲν
book 471.8 χεῖρας ἐς ἠέρα λαμπρὸν ἀείρω καὶ κακίης ἀμόλυντον ἔχω κατὰ πάντα λογισμόν.
book 472.1 [ln_1]Ἰταλίης οὐ πολλὸν ὑπερστείχοντι κολώνην Γαυρείην χώρη
book 472.2 τις ὁδιτάων ἐπὶ λαιὰ κέκλιται ἀργήεσσα
book 472.3 χιὼν ὥς· ἐκ δέ οἱ ὕδωρ ἀΐσσει μάλα
book 472.4 πικρὸν ἀναπνεῦσαι
book 472.5 πιέειν
book 472.6 τε.[ln_5]κεῖνο
book 472.7 πολυστάφυλοι
book 472.8 περιναιέται ἀνέρες ὕδωρ ὅσσων ἄλκαρ ἔχουσιν· ὁ μὲν λοετροῖο
book 472.9 χατίζων αὔτως, ὄφρα κε μοῦνον ἐν ὕδατι γυῖα καθήρῃ, ὀφθαλμοὺς βλεφάροισι λίην ἀραρῶσι καλύψας δεύεται, ὡς μή οἵ τι
book 472.10 παραδράμῃ ἕρκεος εἴσω[ln_10]ὑγρὸν ἐπὶ γλήνης· τὸ γὰρ ἄλγεος 〈αἴτιον〉 εἴη. ὃς δέ κε λημηρῇ νεφέλῃ εἰλυμένος ὄσσε ἀσχάλλῃ ὀδύναις, κεροειδέα δ’ ἀμφὶ χιτῶνα οἶδος
book 472.11 πιαλέοισι
book 472.12 περιβρίθῃ πελανοῖσι, κείνῳ καίριόν ἐστι καὶ ἀσφαλὲς ὄμμα διῆναι[ln_15]ἀμπετὲς ἀκλήϊστον. ἄφαρ δ’ ἀπὸ πᾶσα
book 472.13 τελέσθη θυμοδακὴς ὀδύνη, ῥέα δ’ ἄλθεται ὕδατι νοῦσος.
book 473.1 [ln_1]Ἀργείων
book 473.2

τελέεσσιν ὅσοι

book 473.3 Φυλάκηθεν ἕποντο

book 474 [ln_1]φοῖβον ὕδωρ ἐπάγων κέρας’ ’Ωκεανοῖο ῥοῇσι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org